Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: lfy-aa

Ἀλέξανδρος ὁ Ἐφέσιος · Alexander the Ephesian Poet

# Fragments and Title

*Ἀποσπάσματα καὶ Τίτλος*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration
**Affiliation:** Sophist

21 Φαινόμενα ὑψοῦ δ’ ἄλλοθεν ἄλλος ὑπέρτερον ἔλλαχε κύκλον· ἀγχοτάτη μὲν δῖα Σεληναίη περὶ γαῖαν, δεύτερος αὖ Στίλβων χελυοξόου Ἑρμείαο, τῷ δ’ ἔπι Φωσφόρος ἐστὶ φαεινότατος Κυθερείης, τέτρατος αὐτὸς ὕπερθεν ἐπ’ Ἠέλιος φέρεθ’ ἵπποις, πέμπτος δ’ αὖ Πυρόεις φονίου Θρήϊκος Ἄρηος, ἕκτος δ’ αὖ Φαέθων Διὸς ἀγλαὸς ἵσταται ἀστήρ, ἕβδομος 〈αὖ〉 Φαίνων Κρόνου ἀγχόθι τέλλεται ἄστρον· πάντες δ’ ἑπτατόνοιο λύρης φθόγγοισι συνῳδὸν ἁρμονίην προχέουσι, διαστάσει ἄλλος ἐπ’ ἄλλῃ· γαῖα μὲν οὖν ὑπάτη τε βαρεῖά τε μεσσόθι ναίει· ἀπλανέων δὲ σφαῖρα συνημμένη ἔπλετο νήτῃ· μέσσην δ’ Ἠέλιος πλαγκτῶν θέσιν ἔσχεθεν ἄστρων· τοῦ δ’ ἀπὸ δὴ ψυχρὸς μὲν ἔχει διὰ τέσσαρα κύκλος· κείνου δ’ ἡμίτονον Φαίνων ἀνίησι χαλασθείς, τοῦ δὲ τόσον Φαέθων ὅσον ὄβριμος Ἄρεος ἀστήρ· Ἠέλιος δ’ ὑπὸ τοῖσι τόνον τερψίμβροτος ἴσχει, αἴγλης δ’ Ἠελίοιο τριημίτονον Κυθέρεια· ἡμίτονον δ’ ὑπὸ τῷ Στίλβων φέρεθ’ Ἑρμείαο, τόσσον δὲ χρωσθεῖσα φύσιν πολυκαμπέα Μήνη· κέντρου δ’ Ἠελίοιο θέσιν διὰ 〈πέντ’〉 ἔλαχε χθών· αὕτη πεντάζωνος ἀπ’ ἠέρος εἰς φλογόεν πῦρ ἁρμοσθεῖσ’ ἀκτῖσι πυρὸς κρυερῇσί τε πάχναις οὐρανοῦ ἑξατόνου τόνον ἔσχεθε τὸν διὰ πασῶν.

36 τοίην τοι σειρῆνα Διὸς πάϊς ἥρμοσεν Ἑρμῆς, ἑπτάτονον κίθαριν, θεομήστορος εἰκόνα κόσμου· Εὐρώπη Δυσραχίου τ’ Ἐπίδαμνος ἐπ’ ἀγχιάλου χθονὸς ἀκτῆς Ἐλίμειον Ἑρκύνιον Τυρακή Ἀσία Δῶρός τ’ ἀγχίαλός τ’ Ἰόπη προύχουσα θαλάσσης Μελίταια Σάταλα εἰς Ὑρκανίδα λίμνην μεσσοβαθὴς δ’ ἄρα νῆσος ἁλὸς κατὰ βένθος Ἐρυθρῆς Ὤγυρις, ἔνθα τε τύμβος ἁλὸς μεδέοντος Ἐρύθρα κέκληται Βήλου δ’ αὖ Κίτιόν τε καὶ ἱμερόεσσα Λάπηθος νῆσος τετράπλευρος, ἁλιστέφανος Ταπροβάνη, θηρονόμος πέπληθεν ἐϋρρίνων ἐλεφάντων.

38 Ἀσία καὶ Λιβύη οἱ δὲ κάτω Πελασγίδα Χαονίην χαλκείῳ δὲ λέβητι μέγαν διενήξατο πόντον